# ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΤΑΞΙΣ ΕΙΣ ΕΓΚΑΙΝΙΑ ΝΑΟΥ

ΥΠΟ

ΠΑΝΑΓΙΩΤΟΥ Ν. ΤΡΕΜΠΕΛΑ

ΚΑΘΗΓΗΤΟΥ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ

---

ἐν τῇ χύτρᾳ θερμαινόμενον τακῆναι καὶ οὕτω τῆς μαστίχης ἐπιβληθείσης προεπιβληθῆναι καὶ μάρμαρον τετριμμένον, ἀναλογούσης δηλαδὴ τῆς ποσότητος τούτου τῇ ποσότητι καὶ τῷ πάχει τῶν κιόνων. Εἶτα προστάττει πᾶν ὁτιοῦν κινεῖσθαι δυνάμενον ἐκβληθῆναι τοῦ ναοῦ καὶ μηδὲ κανδήλαν περιλειφθῆναι.

Παραγινομένου δὲ τοῦ ἀρχιερέως, ἡ μὲν τράπεζα καταφέρεται τῶν κιόνων καὶ προσερείδεταί τινι τῶν τοίχων, ἐκβάλλεται δὲ καὶ πᾶς λαϊκός, μόνοι τε μένουσιν ἐντὸς οἱ ἱερεῖς καὶ οἱ λοιποὶ κληρικοὶ καὶ ὑπηρέται καὶ τὰ πρὸς τὴν καθιέρωσιν ἐπιτήδεια. Καὶ πανταχόθεν ἀσφαλῶς κλειομένων τῶν τοῦ ναοῦ πυλῶν, τὴν ἀρχιερατικὴν

*9 κόλλανθον* **N** *κόλλανθος* **N** *ἄγων υ 1-2 τακῆναι μετὰ καὶ τῶν λοιπῶν εἰδῶν καὶ μάρμαρον τετριμμένον ἐμβληθῆναι ἀναλογούσης υ προσεπιβληθῆναι καὶ μάρμ.* **Z.** *6 παραγενομένου* **Z** *7 προσερεῖται τινι τῶν τοίχων* **Z**

---

ὲ Πρωῒ μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου προλαμβάνει πάλιν ὁ ἐκκλησιαστικός... ... Σάβανα ἤγουν δύο πανῖὰ λινὰ καινούρια,... ταπέτα ἤγουν χαλί, προσκεφάλαιον, κόλλαις χαρτὶ χοντραῖς καὶ στερεαῖς νὰ δέσουν τὸν στῦλον, ὁποῦ βαστᾷ τὴν ἁγίαν τράπεζαν, σφήκωμα ἤγουν... τριμμένον ἤγουν ἀσβέστιν, ἀλόην, σμύρναν, λίβανον, λάδανον, καὶ πατίτην, τὰ ὁποῖα τρίβοντάς τα τὰ σμίγει ὅλα εἰς ἓν τζικάλι καινούριον καὶ τὰ βάνει εἰς τὴν φωτιὰν καὶ ἀναλοῦν καὶ γίνονται ὅλα ἕνα. Καὶ ἄλλο ἕνα τζικάλι καὶ αὐτὸ καινούριον;;; νὰ πλύνουν τὴν ἁγίαν τράπεζαν. Καὶ σίτλαν ἤγουν ἐπιχύτην μπιρίκι καὶ λεκάνην ἢ χαλκὰ ἢ ὀστράκινα καὶ σφογκάρια;; καινούργια. Καὶ σαποῦνι ἄσπρον ἤγουν πλάκα, καὶ ἕνα κανδύλι, ὁποία λέγεται καὶ λύχνος καὶ λαμπτήρ. Καὶ μολιβίδα καὶ θριαλίδα ἤγουν κανδυλάπτη καὶ δύο βοϊκια γιάλινα τὸ ἕνα γεμάτο οἰνάνθη ἢ ἄσπρο κρασὶ καὶ τὸ ἄλλο γεμάτο ροδόσταμα. Αὐτὰ ὅλα τὰ εὐτρεπίζει προλαβὼν ὁ ἐκκλησιαστικός. Καὶ τότε ὁ ἀρχιερεὺς προστάζει καὶ βάνουν τὸ κερὶ μαζὺ μὲ τὰ ἄλλα μίγματα εἰς τὴν φωτιὰν καὶ ἀναλοῦν. Καὶ ὡσὰν ἀναλύσουν βάνουν καὶ μερικὸν ἀσβέστιν, ὅσον νὰ μὴ παραπήξι. Μόνον νὰ εἶνε ὡσὰν χυλός. Καὶ πάλιν προστάζει ὁ ἀρχιερεὺς καὶ εὐγάζουν ὅλα τὰ κινούμενα ἀπὸ τὴν ἐκκλησίαν, τόσον ὁποῦ μήτε κανδήλα δὲν ἀφήνουν μέσα, ἀλλὰ μόνον τὰ δεσποτικὰ καὶ τὸν τέμπλον.

Ἰστέον ὅτι μετὰ τὴν συμπλήρωσιν τοῦ ὄρθρου μετ' ὀλίγον μικρὸν ἡσυχάσαντες καὶ πάλιν ἀναστάντες ὅ τε ἀρχιερεὺς μετὰ παντὸς τοῦ κλήρου αὐτοῦ ἱερέων καὶ διακόνων, ἀπέρχονται ἐν τῷ ναῷ, ὅπου ἔχουν τὰ ἅγια λείψανα ἀπηθωμένα. Τότε ἐκεῖ ἐνδύεται ὁ ἀρχιερεὺς πᾶσαν τὴν ἀρχιερατικὴν στολήν, ὁμοίως καὶ οἱ ἱερεῖς καὶ διάκονοι τὰ ἱερατικὰ καὶ λέγει ὁ ἀρχιερεὺς Εὐλογητόν. Εἶτα ἀρχόμεθα τοῦ ψαλμοῦ

πᾶσαν περιβάλλεται στολὴν ὁ ἀρχιερεὺς καὶ οἱ συνόντες αὐτῷ ἀρχιερεῖς ἴσως καὶ ἱερεῖς καὶ ὑπηρέται τὰς ἰδίας ἐνδιδύσκονται στολάς, αὐτῷ δὲ τῷ μέλλοντι τὴν καθιέρωσιν αὐτουργεῖν, ἐπάνωθεν τῶν ἱερατικῶν ἀμφίων περιτίθεται σαβανόν· ἔμπροσθεν μὲν ἀπὸ τοῦ στήθους ἕως ποδῶν διῆκον, ὄπισθεν δὲ ὑπὸ τὰς μασχάλας πρὸς τὴν ράχην δι' ἀμφοτέρων τῶν ἄκρων φερόμενον καὶ δεσμούμενον, διὰ μέσου τε ζώνῃ περισφιγγόμενον· περιτίθεται δὲ αὐτῷ καὶ καθ' ἑκάτερον τὸν βραχίονα μαντήλια ζώναις διαδεσμούμενα. Καὶ οὕτω στολισάμενος εἴσισιν ἅμα τοῖς παρεπομένοις εἰς τὸ θυσιαστήριον καὶ

---

***Ξ*** e Εἶτα τοῦ ἀρχιερέως παραγενομένου ἐν τῷ ναῷ, ἐν ᾧ ἐστιν (ἐγίνετο e) ἡ ἀγρυπνία καὶ εἰσὶ τὰ ἅγια λείψανα, ποιεῖ ὁ διάκονος συναπτὴν καὶ ὁ ἀρχιερεὺς φορεμένου ἅπασαν ὄντως τὴν ἀρχιερατικὴν στολὴν ἐπεύχεται μετὰ φόβου.

*Κύριε, ὁ Θεὸς* ἡμῶν, *ὁ πιστὸς* ἐν τοῖς λόγοις σου καὶ *ἀψευδὴς ἐν ταῖς ἐπαγγελίαις* σου· ὁ χαρισάμενος τοῖς ἁγίοις σου μάρτυσι *τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι καὶ τὸν δρόμον* τῆς εὐσεβείας *τελέσαι* καὶ *τὴν πίστιν* τῆς ἀληθοῦς ὁμολογίας φυλάξαι· αὐτός, δέσποτα πανάγιε, ταῖς αὐτῶν ἱκεσίαις παρακλήθητι, καὶ χάρισαι ἡμῖν τοῖς ἀναξίοις δούλοις σου, *μέρος καὶ κλῆρον* ἔχειν μετ' αὐτῶν· ἵνα μιμηταὶ αὐτῶν γενόμενοι καταξιωθῶμεν τῶν ἀποκειμένων αὐτοῖς ἀγαθῶν. Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν κ.τ.λ.

ψαλμ. ζ1 καὶ ἀλλ.
Δευτερ. ζ9, λβ7
Τίτ. α2
Α'Τιμ. στ 12, Β' Τιμ. δ 7
Κολοσ. α 12, Πράξ. κστ 18

***Η*** Μετὰ δὲ τὸ Ἀμὴν ἐκφωνεῖ:

***Η Ξ*** Τὸ Εἰρήνη πᾶσι. Καὶ τοῦ διακόνου λέγοντος.

*1 καὶ οἱ συνόντες αὐτῷ ἱερεῖς καὶ διάκονοι τὰς ἰδίας* υ *4 περιτιθέασιν σάβανον* ***Χ*** *σάβανον* υ *7 διὰ μέσου τὴν ζώνην* ***Ζ*** *ἑκάτερον τῶν βραχιόνων* ***Ζ Χ*** *8 μανδύλια ζώνας γ' διαδεσμούμενα* ***Ζ*** *15 ἐν ταῖς ἁγίοις σου μάρτυσι* υ *16 τῆς εὐσεβείας ἐκτελέσαι* ***Ζ*** *καὶ τὴν πίστιν τῆς ἀληθείας φυλάξαι* ***Ξ*** *18 τοῖς ἀναξίοις σου δούλοις σου* ***Η Ν*** *κλῆρος* ***Η*** υ *19 κλῆρον ἔχειν ἵνα* ***Ξ*** *ἀξιωθῶμεν καὶ τῶν* ***Χ*** *καταξιωθῶμεν καὶ τῶν* ***Η Ζ*** υ *20. Ἐκφών. Ἐλέει* ***Η Ζ Χ*** υ *e Εἶτα ὁ ἀρχιερεὺς ἐκφωνεῖ Ἐλέει* ***Ν***

---

τὸ Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. Καὶ γίνεται συναπτὴ παρὰ τοῦ διακόνου. Μετὰ δὲ τὸ εἰπεῖν Τῆς Παναγίας ἀχράντου ἐκφωνεῖ ὁ ἀρχιερεὺς τὴν ἐκφώνησιν οὕτως Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν... Οἱ παρεστῶτες Ἀμήν. Ὁ διάκονος Τοῦ Κυρίου δεηθῶμεν. Ὁ λαὸς τὸ Κύριε ἐλέησον, ὁ ἀρχιερεὺς μικρὸν κλινόμενος λέγει τὴν εὐχὴν ταύτην εἰς ὑπήκοον Κύριε, ὁ Θεὸς ἡμῶν ὁ πιστός... Εἰρήνη πᾶσι... Κύριε ὁ Θεὸς ἡμῶν πρεσβείαις...

Αὕτη εἶνε καὶ ἡ ὑπὸ τοῦ ἐντύπου ἀκολουθουμένη σειρά. Ἐκ τῶν κωδίκων ὅμως μόνον οἱ Ξ e ἑ ἀκολουθοῦσιν αὐτήν, οἱ ἄλλοι δὲ ἔχουσι τὴν εὐχὴν καὶ τὴν λιτάνευσιν τῶν ἁγίων λειψάνων μετὰ τὴν καθιέρωσιν τῆς ἁγίας Τραπέζης.

αὐτοῦ ἐπιτάττοντος τὸν χόρτινον χάρτην λαμβάνουσιν, οἷς ἐστιν ἐπιτηδειότης, ὥστε τμήμασι τούτου τοῖς ἀρκοῦσι περιλαβεῖν ἕκαστον

---

***H Ξ*** Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ, εὔχεται οὕτω

Κύριε ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου, *τὰ ἔργα τῶν χειρῶν ἡμῶν* τῶν ἀναξίων δούλων (ψαλμ.) σου *κατεύθυνον* καὶ ἐν πᾶσιν εὐαρεστεῖν ἡμᾶς τῇ σῇ ἀγαθότητι καταξίωσον.

υ Καὶ αὖθις ἐκφωνεῖ Ἐκφώνησις

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμενον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

***Z H N Ξ*** υ e Καὶ μετὰ τὸ Ἀμὴν αἴρει τὰ λείψανα ἐπὶ τῆς ἑαυτοῦ κεφαλῆς μετὰ τοῦ ἁγίου δίσκου καὶ προπορευομένων τῶν τε ἱερέων καὶ τοῦ ἀρχιερέως καὶ τοῦ κλήρου καὶ τοῦ λαοῦ τροπάρια λιτανευτικὰ οἱ ψάλται λέγουσιν εἰς ἦχον γ΄.

Ὁ ἐν τῇ πέτρᾳ τῆς πίστεως οἰκοδομήσας τὴν ἐκκλησίαν σου, Χριστὲ ὁ Θεός, ἐν αὐτῇ κατεύθυνον τῆς ἱκεσίας ἡμῶν, καὶ πρόσδεξαι λαὸν ἐν πίστει βοῶντά σοι· Σῶσον ἡμᾶς ὁ Θεὸς ἡμῶν.

***Ξ*** e λέγεται δὲ τὸ αὐτὸ τροπάριον ἕως οὗ πλησιάσωσι τὸν ναὸν τὸν μέλλοντα καθιερωθῆναι.

***Z H N Ξ*** υ e Ὅτε δὲ πλησιάσουσι τῷ καθιερωμένῳ ναῷ ψάλλουσι τὸ Δόξα σοι Χριστὲ ὁ Θεὸς ἀποστόλων καύχημα. Καὶ ἡνίκα φθάσωσιν εἰς τὴν μέσην τοῦ ναοῦ πύλην κεκλεισμένην οὖσαν, μετὰ καὶ τῶν λοιπῶν ἐκφωνεῖ ὁ ἀρχιερεύς· Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τούς... Καὶ τιθέντος αὐτοῦ τὸν δίσκον εἰς τράπεζαν (τετραπόδιον υ) ἐπὶ

*1 θυσιαστήριον χάρτην λαμβάνουσι* ***Z*** *5 τῶν ἀναξίων σου δούλων* ***N*** *16 Ἐν τῇ πέτρᾳ* ***X*** *τὴν ἐκκλησίαν σου ἀγαθὲ ἐν αὐτῇ* ***Z H X*** *υ 17 τὰς ἱκεσίας σου* ***Z*** *18 Σῶσον ἡμᾶς ὁ Θεὸς ἡμῶν σῶσον ἡμᾶς* ***Z H N*** *υ σῶσον ἡμᾶς ὁ θεὸς σῶσον ἡμᾶς* ***X***

---

Οἱ Ξ e ἐκφώνησιν ἀντὶ τοῦ Εἴη τὸ κράτος... τὴν Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν.

Ὁ e «...καὶ προπορευομένων τῶν ἱερέων φορεμένων καὶ τοῦ κλήρου καὶ τοῦ λαοῦ βασταζόντων αὐτῶν ἁπτόντων κηρῶν...» τοῦ λαοῦ τροπάριον λιτανευτικὸν υ.

Ὁ ἐ «Καὶ μετὰ τὸ Ἀμὴν...λαοῦ τῆς πόλεως ἢ τῆς χώρας μέσον ἔχοντες τὸν ἀρχιερέα ἀσκεπῶν ὄντων πάντων τῶν λαϊκῶν. Εἶτα οἱ ψάλται ψάλλουσι τροπάριον εἰς ἦχον Γ΄. Καὶ εἰ μὲν εἶναι μακρὸν τὸ διάστημα ἀπὸ τὸν παλαιὸν ναὸν ἕως τὸν νέον ψάλλουσι τὸν κανόνα τῶν ἐγκαινίων. Εἰ δὲ καὶ εἴη ὀλίγον ψάλλουσι τὸ παρὸν ἦχος γ΄. Ὁ ἐν τῇ πέτρᾳ...

Οἱ Ξ e ἐ «εἶτα ψάλλομεν Δόξα σοι Χριστὲ... Ἅγιοι Μάρτυρες... Ὡσαύτως καὶ οἱ υ ἐ, οἵτινες προσθέτουν: «Σημαίνουσι δὲ καὶ τὰ τοῦ ναοῦ σήμαντρα ἐρχομένης τῆς λιτῆς». υ «Καὶ ἡνίκα φθάσουσιν εἰς τὰς μέσας τοῦ ναοῦ πύλας ἤτοι τὰς λεγομένας ὡραίας...

τῶν τῆς τραπέζης κιόνων. Τέμνοντες οὖν ὅσον ἱκανόν ἐστι, τὸ μὲν ἄνωθεν τοῦ χάρτου μέρος ὃ πρὸς τῇ κεφαλῇ δεῖ τοῦ κίονος εἶναι,

---

τούτῳ ἡτοιμασμένην, οἱ μὲν ψάλται κατὰ τὸ σχῆμα τῶν ἐγκαινίων ψάλλουσι τὸ Ἄρατε πύλας, ὁ δὲ ἀρχιερεὺς λέγει πρὸ τῆς συνήθους εὐχῆς τῆς εἰσόδου τὴν εὐχὴν ταύτην:

Τοῦ Κυρίου δεηθῶμεν

*Ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς* Β' Κορ. ιβ 41
*εἰς τοὺς αἰῶνας· ὁ διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ ἐγκαινίσας* Ἑβρ. ι 20, 19
*ἡμῖν τῆς τῶν προπατόρων ἐκκλησίας, τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων, τὴν* Ἑβρ. ιβ 23
*εἴσοδον,* ἔνθα *ἦχος καθαρὸς ἑορταζόντων καὶ φωνὴ ἀγαλλιάσεως*· αὐτός, φι- ψαλμ μα 15, ριζ 15
λάνθρωπε δέσποτα, ἐπίβλεψον ἐφ' ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δού-
λους σου, τοὺς τὸν ἐγκαινισμὸν ἐπιτελοῦντας τοῦ σεβασμίου ναοῦ (τοῦ δεῖνος)

*2-3 ἐγκαινίσας τῆς τῶν υ ἡμῖν ἐν οὐρανοῖς υ ἐκκλησίας ἀπογεγραμ.* **Ξ** *τῆς τῶν πρωτοτόκων ἐκκλησίας* **Ζ Η Ν Ξ Χ** *υ*
*4 ἦχος ἑορταζόντων* **Η Ζ Ν Χ** *υ 4 ἐν φωνῇ υ αὐτὸς δέσποτα φιλάνθρωπε* **Ν** *υ*
*6 δούλους σου τὸν ἐγκαινισμὸν ἑορτάζοντας τοῦ σεβασμίου* **Η Ν Ξ Χ** *υ τὴν ἀνάμνησιν ἑορτάζοντας τοῦ ἐγκαινισμοῦ τοῦ πανσέπτου ναοῦ τοῦδε* **Ζ**

---

Ὁ Ξ «Καὶ εὐθὺς οἱ ψάλται κατὰ τὸν τύπον τῶν ἐγκαινίων ψάλλουν μετὰ μέλους Ἄρατε πύλας... δόξης. Ἀνταποκρίνονται δὲ κατ' ἐναλλαγὴν οἱ ἔσω τῶν πυλῶν ψάλται: Τίς ἐστιν οὗτος, καὶ αὐτοὶ μετὰ μέλους. Καὶ τούτων ταῦτα ἐκ γ' μετὰ μέλους ὁ ἀρχιερεὺς λέγει τὴν εὐχὴν ταύτην· Ὁ Θεὸς καὶ πατήρ...».

Τὰ ἐν τῷ ἐντύπῳ ἰδιόμελα καθὼς καὶ τὰ ἀναγνώσματα Ἑβρ. β' 11-18 καὶ Ματθ. ις' 13-19 καὶ Ἑβρ. θ' 1-7 καὶ Λουκ. ι' 38-42, ια' 27-28 παραλείπονται ἔν τε τοῖς Ξ ε καὶ τοῖς **Ζ Η Ν Χ** υ. Ὑπάρχουσιν ὅμως ἐν ε ὅστις συνεχίζει ὡς ἑξῆς.

ε ... Πληρουμένων δὲ τῶν τροπαρίων τούτων ψάλλομεν ταῦτα τὰ τροπάρια γύρωθεν τοῦ ναοῦ εἰς ἦχον πρῶτον.

Ἐγκαινίζου, ἐγκαινίζου... Πάλαι μὲν ἐγκαινίζων... Ἐγκαίνια τιμᾶσθαι... Δόξα τοῦ ἁγίου Καὶ νῦν τῶν ἐγκαινίων ἦχ. πλ. α' Ὁ ἐπὶ τῶν κόλπων τῶν πατρικῶν... Ὅταν δὲ φθάσωμεν ἔμπροσθεν τῶν πυλῶν τοῦ ναοῦ εὐθὺς ὁ διάκονος λέγει· Πρόσχωμεν. Σοφία. Προκείμενον τοῦ ἀποστόλου

Κος φωτισμός μου καὶ σωτήρ μου τίνα φοβηθήσομαι.
Κος ὑπερασπιστὴς τῆς ζωῆς μου

Πρὸς Ἑβραίους β' 11-18

Εὐαγγέλιον Ματθ. ις' 13-19.

Καὶ εὐθὺς πάλιν ἀρχόμεθα γύρωθεν τοῦ ναοῦ τοῦ μέλλοντος ἐγκαινισθῆναι. Καὶ ψάλλομεν τὴν τρίτην ᾠδὴν τοῦ κανόνος μετὰ στίχων Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα... Δεδοξασμένα ἐλαλήθη... Μετὰ τὸ Ἀνέδειξας... Τὸ φρόνημα τῆς σαρκὸς ὡς δυσμενὲς εἰς Θεὸν αἴτιον, τῷ τῆς ζωῆς Πνεύματι, μάρτυρες Χοῦ ὑπετάξατε. Εἶτα πάλιν φθάσαντες ἔμπροσθεν τοῦ ναοῦ, τεθέντος τοῦ Εὐαγγελίου ἐν τετραποδίῳ, λέγομεν τὸν ἀπόστολον Προκείμενον Ἀπενεχθήσονται... Αἱ πλησίον αὐτῆς... Πρὸς Ἑβραίους (θ' 1-7), Εὐαγγέλιον Λουκᾶ (38-42) κλπ. Μετὰ δὲ ταῦτα πορευόμεθα τρίτον γύρωθεν

διπλοῦν ποιοῦσι τὸ βραχύτερον τοῦ διπλώματος ἐντὸς ἀποκλείοντες· τὸ δὲ κάτωθεν ἁπλοῦν· ἄνω γὰρ ἐπιχεῖσθαι μέλλει ζέων ὁ σὺν μα-

---

εἰς σύμβολον τῆς ἁγιωτάτης σου ἐκκλησίας, τουτέστιν αὐτοῦ *τοῦ σκήνους* B' Κο
*ἡμῶν*, ὅπερ καὶ *ναόν σου καὶ μέλη Χριστοῦ* σου, διὰ τοῦ πανευφήμου ἀπο- A' Κο
στόλου Παύλου ὀνομάσαι κατηξίωσας· καὶ τοῦτον στερέωσον μέχρι *τῆς συν-* Ματθ.
*τελείας τοῦ αἰῶνος* ἀσάλευτον, καὶ δεδοξασμένον ἐν σοί· καὶ ἀξίωσον ἡμᾶς ἐν αὐτῷ αἰνέσεις καὶ δοξολογίας ἀκαταγνώστους προσάγειν τῇ δόξῃ σου καὶ
*τῷ μονογενεῖ σου Υἱῷ, τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ*, καὶ τῷ ἁγίῳ σου Ἰωάν. Ρωμ.
Πνεύματι, *ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει*· καὶ προσκυνοῦντάς σε ἐν φόβῳ Φιλιπ.

*6 τοῦ ναοῦ τοῦ ἁγίου τοῦδε* **Η Ν Χ** *2 ὅπερ καὶ ναός σου υ 3 ἀποστόλου σου Παύλου υ ἀποστόλου καὶ πανευφ. Παύλου* **Ξ** *μέχρι τέλους τῆς συντελείας* **Ξ** *7 καὶ τῷ ἁγίῳ Πνεύματι ἐν* **Χ** *Πνεύματι καὶ προσκυνοῦντάς σε υ*

---

τοῦ ναοῦ, ψάλλομεν δὲ καὶ τὴν ἕκτην ᾠδὴν τοῦ κανόνος (ἔχει καὶ τὸ τροπάριον Οὐ πλοῦτος... Στίχος Ὁ Κύριος ἐβασίλευσε... Καὶ γὰρ ἐστερέωσε... Τῷ οἴκῳ σου...). Εἶτα ἀνερχόμενοι ἅπαντες ἔμπροσθεν τῶν πυλῶν τοῦ ναοῦ μετὰ τοῦ ἀρχιερέως ἐκφωνεῖ ὁ ἀρχιερεὺς οὕτως· Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ οὕτως ἡμεῖς ψάλλομεν τροπάριον εἰς ἦχον γ' Ὁ ἐν τῇ πέτρᾳ... ψαλλομένου δὲ τοῦ τροπαρίου ὑποτίθεται ὁ ἀρχιερεὺς τὰ ἅγια λείψανα ἔμπροσθεν τοῦ ναοῦ, ἐν τετραποδίῳ. Καὶ οὕτως ὁ ἀρχιερεὺς ἐπεύχεται τὴν εὐχὴν ταύτην μυστικῶς Ὁ Θεὸς ὁ Πατήρ.

(μετὰ τὴν εὐχὴν τῆς εἰσόδου)

Ὁ **Χ** «... Καὶ τιθέντος αὐτοῦ τὸν δίσκον εἰς τετράποδα ἐπὶ τούτῳ ἡτοιμασμένον, οἱ μὲν ψάλται κατὰ τὸ σχῆμα τῶν ἐγκαινίων ψάλλουσιν ἐντὸς καὶ ἐκτὸς τὸ Ἄρατε πύλας· οἱ δὲ ἱερεῖς ποιοῦσι τὸν ἁγιασμὸν ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας. Καὶ ἁγιάζονται οἱ ἱερεῖς καὶ ὁ λαός. Καὶ αἴροντες τὴν λιτὴν γυρίζουσι τὸν ναὸν τρὶς ψάλλοντες τὸ Ἅγιος ὁ Θεός. Καὶ ὁ λαὸς τὸ Κύριε ἐλέησον. Καὶ ἁγιάζει τὸν ναὸν κύκλῳ. Καὶ τὸ νεκροτάφιον. Καὶ μετὰ τὸ πληρῶσαι τὰς τρεῖς φορὰς ἔρχονται εἰς τὰς ὡραίας πύλας. Καὶ λέγουσιν οἱ ἱερεῖς ἔξω μεγαλοφώνως. Ἄρατε πύλας... δόξης. Καὶ ἀποκρίνονται οἱ ἐντὸς Τίς ἐστιν οὗτος... Καὶ πάλιν οἱ ἔξω τὸν πρῶτον στίχον Ἄρατε πύλας. Καὶ οἱ ἐντός· Τίς ἐστιν. Καὶ οἱ ἔξω εὐθύς· Κύριος τῶν δυνάμεων... τῆς δόξης. Καὶ οἱ ἔσωθεν ἀποκρίνονται· Καὶ εἰσελεύσεται... δόξης. Καὶ εἰσέρχεται ὁ ἀρχιερεὺς ἐν τῷ εἰθισμένῳ τόπῳ καὶ ἐπιφέρει τὴν εὐχὴν τῆς εἰσόδου. Εὐχὴ Δέσποτα Κύριε...».

Ὁ **Ζ** «... καὶ ἡνίκα φθάσουσιν εἰς τὸν ναὸν τὴν πύλην κεκλεισμένην οὖσαν ἐκφωνεῖ· Εὐλογητὸς εἶ, Χριστέ, ὁ Θεὸς ἡμῶν. Εἶτα λέγει Ἄρατε πύλας οἱ ἄρχοντες. Καὶ ὁ ἀναγνώστης ἔσωθεν τῆς πύλης· Τίς ἐστιν ὁ βασιλεὺς τῆς δόξης. Καὶ τὰ ἑξῆς. Καὶ τιθέντος αὐτοῦ ἐπὶ δίσκον εἰς τὴν ἁγίαν τράπεζαν ψάλλουσι *τὰ ἰδιόμελα τῶν ἐγκαινίων*. Καὶ ὁ ἀρχιερεὺς λέγει πρὸ τῆς συνήθους εὐχῆς τῆς εἰσόδου τὴν εὐχὴν ταύτην Ὁ Θεὸς καὶ Πατήρ...».

Ὁ e «Καὶ κατατίθησιν εὐθὺς τὸν ἅγιον δίσκον ἔμπροσθεν τῶν πυλῶν, σκάμνου ὑψηλοῦ ἑτοιμασθέντος. Καὶ εὐθὺς οἱ ψάλται κατὰ τὸν τύπον τῶν ἐγκαινίων ψάλλουσι μετὰ μέλους Ἄρατε... δόξης, ἀνταποκρίνονται δὲ κατ' ἐναλλαγὴν οἱ ἔσω τῶν πυλῶν

στίχῃ κηρός, καὶ χρὴ τὸν χάρτην ὑπάρχειν διπλοῦν, ὅπως δύνηται στέγειν, ἀλλὰ καὶ ὑπερέχειν αὐτὸν τῆς περιμέτρου τοῦ κίονος κυκλό-

1 σου, τῶν θείων δειχθῆναι ἀξίους οἰκτιρμῶν, εὐπροσδέκτους τε τῇ σῇ ἀγαθότητι γενέσθαι τὰς δεήσεις ταύτας, ἃς ὑπὲρ ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου, τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ προσάγομεν· πρεσβείαις τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

*1 τῶν θείων ἀξίους δειχθῆναι οἰκτιρμῶν* **Ζ Η Ν Ξ Χ** *2 τὰς ὑπὲρ ἡμῶν* **Ζ Η Ν Ξ Χ** *τὰς δεήσεις ταύτας ὑπὲρ ἡμῶν υ 3 προσαγομένας* **Ζ Η Ν Ξ Χ** *υ*
*3 τῆς παναγίας ἀχράντου* **Χ** *τῆς παναχράντου δεσποίνης ἡμῶν υ τῆς ἁγίας ἀχράντου* **Η Ζ**

ψάλται μετὰ μέλους Τίς ἐστιν... δόξης. Καὶ τούτων ταῦτα ψαλλόντων ἐκ τρίτου μετὰ μέλους ὁ ἀρχιερεὺς λέγει τὴν εὐχὴν ταύτην. 'Ο Θεὸς καὶ Πατὴρ...».

'Ο **Ρ** ὑπὸ τὴν ἐπιγραφὴν «Τάξις γινομένη ἐπὶ ἐγκαινίοις ναοῦ»:

«Τῆς λιτῆς τὸν τοιοῦτον ναὸν λαμβανούσης καὶ τῶν θυρῶν πασῶν κλειομένων, ἵσταται ὁ ἀρχιερεὺς ἔμπροσθεν τῶν μέσων πυλῶν, κεκλεισμένων καὶ αὐτῶν οὐσῶν, καὶ φωνοῦσι μὲν οἱ ἀναγνῶσται ἔξωθεν τὸ Ἄρατε πύλας, ἀντιφωνοῦσι δὲ οἱ ψάλται ἔσωθεν τὸ Τίς ἐστιν οὗτος... Τοῦ δὲ ἀρχιδιακόνου λέγοντος Τοῦ Κυρίου δεηθῶμεν, ὁ ἀρχιερεὺς εὔχεται οὕτως· 'Ο Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ διὰ τῆς ἁγίας αὐτοῦ καὶ θεηφόρου σαρκός, ἣν ἐπὶ σωτηρίᾳ καὶ ἀνακλήσει τοῦ τῶν ἀνθρώπων γένους ἐξ ἡγιασμένης παρθενίᾳ γαστρὸς αὐτὸς ἑαυτῷ περιέθετο, ἐγκαινίσας ἡμῖν τῆς τῶν πρωτοτόκων ἐκκλησίας τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων τὴν εἴσοδον, ἔνθα ἦχος ἑορταζόντων καὶ φωνὴ ἀφράστου ἀγαλλιάσεως, Αὐτός, φιλάνθρωπε δέσποτα, ἔπιδε ἐφ' ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, τοὺς τὴν ἀνάμνησιν ἑορτάζοντας τοῦ ἐγκαινισμοῦ ταύτης τῆς ἁγιωτάτης σου ἐκκλησίας καὶ δι' αὐτῆς τοῦ χοϊκοῦ σκήνους ἡμῶν μετὰ τῶν ψυχῶν, οὓς καὶ ναοὺς καὶ μέλη τοῦ Χριστοῦ σου διὰ τοῦ ἁγίου σου ἀπετέλεσας Πνεύματος, καὶ ταύτην μέχρι συντελείας αἰῶνος ἀσάλευτον μένειν τῷ παναχράντῳ σου Πνεύματι στηριζομένην καὶ παντοδαπαῖς κοσμουμένην ἀνάδειξον χάρισιν, ἡμᾶς δὲ καταξίωσον ἐν αὐτῇ αἰνέσεις καὶ δοξολογίας ἀκατακρίτως προσάγειν τῇ δόξῃ σου τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρὸς καὶ τοῦ ἀγαπητοῦ σου Παιδὸς καὶ τοῦ ζωοποιοῦ Πνεύματος, ἐν ἐπιγνώσει τῆς ἀληθείας σου πάντας ἡμᾶς ἀξιῶν πολιτεύεσθαι, ἵνα ἀπρόσκοποι καὶ βίῳ καὶ πολιτείᾳ τῇ ἁγίᾳ σου τελούμενοι χάριτι πρεσβείαις τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τὰς ὑπὲρ ἡμῶν αὐτῶν καὶ παντὸς τοῦ λαοῦ προσφέρωμέν σοι ἀκαταγνώστους δεήσεις, μερίδα τινὰ λαβεῖν μετὰ τῶν ἁγίων σου τῆς ἐν οὐρανοῖς βασιλείας σου ἱκετεύοντες. Σὺ γαρ εἶ Θεὸς πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς καὶ μόνῃ χρηστότητι τοῦ κλήρου καταξιῶν τῶν εὐαρεστησάντων σοι τοὺς ἐλπίζοντας ἐπὶ σὲ καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί... Μετὰ δὲ τὸ Ἀμήν, εὐθὺς ἐπιφέρει τὴν εἰθισμένην τῆς εἰσόδου εὐχήν... Καὶ ὅτε εἴπωσι τρίτον τὸ Ἄρατε πύλας, σφραγίζει ταύτας γ' καὶ ἀνοιγομένη γίνεται κατὰ τάξιν ἡ εἴσοδος.

Οἱ **Η Ν** υ ἐ μετὰ τὴν ἐκφώνησιν ὅτι ἅγιος εἶ... «Ἡ δὲ αὐτὴ εὐχὴ λέγεται καὶ εἰς ἐγκαίνια (ἐγκαινίων ἀνάμνησιν **Ν**) ναοῦ παντὸς ἁγίου μικρὸν τοῦ ἀρχιερέως ἐναλλάττοντος, καὶ ἀντὶ τοῦ εἰπεῖν τὸν ἐγκαινιασμὸν ἑορτάζοντας τοῦ σεβασμίου ναοῦ λέγοντος τὴν ἀνάμνησιν ἑορτάζοντας τῶν ἐγκαινίων τοῦ σεβασμίου ναοῦ. Λέ-

υ Εἶτα τὴν ἐκφώνησιν

***H N Ξ X*** υ Ἐκφώνως Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

***H Z N*** υ ὲ Μετὰ δὲ τὸ Ἀμὴν ἐπιφέρει τὴν εἰθισμένην τῆς εἰσόδου εὐχὴν ἔχουσαν οὕτω: Εὐχή.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ

*καὶ ἁγίοις ἐπαναπαύῃ* ***Z N X*** *υ*

---

γεται δὲ καὶ εἰς ἐγκαίνια τοῦ ναοῦ τῆς Θεοτόκου ὀλίγον τοῦ ἀρχιερέως πάλιν ἐναλλάσσοντος καὶ ἀντὶ τοῦ εἰπεῖν τοῦ σεβασμίου ναοῦ τοῦ ἁγίου τοῦδε λέγοντος τοῦ σεβασμίου ναοῦ τῆς ἁγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Μετὰ δὲ τὸ Ἀμὴν ἐπιφέρει τὴν εἰθισμένην...»

Τὴν εὐχὴν τῆς εἰσόδου παραλείπουν οἱ ε *Ξ*

Ὁ ὲ μετὰ τὴν εὐχὴν ὁ Θεὸς ὁ Πατὴρ... καὶ τὴν εὐχὴν τῆς εἰσόδου: «εἶθ' οὕτως ψάλλει ὁ ἀρχιερεὺς μετὰ παντὸς τοῦ κλήρου ταῦτα εἰς ἦχον α'.

Ἄρατε... τῆς δόξης. Οἱ ἔσωθεν ἀποκρίνονται. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Οἱ ἔξωθεν Κύριος τῶν δυνά... δόξης. Ταῦτα δὲ ψάλλονται ἐκ τρίτου. Καὶ εὐθὺς ὁ ἀρχιερεὺς αἴρει τὰ ἅγια λείψανα καὶ τίθησιν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Καὶ σφραγίζει τὰς πύλας ἐκ τρίτου. Ψάλλουσι καὶ τὸ παρὸν τροπάριον. Ἦχος δ'. Ὡς τοῦ ἄνω στερεώματος... Τούτου δὲ ψαλλομένου εἰσερχόμεθα ἐν τῷ ναῷ ὅ τε ἀρχιερεὺς μετὰ παντὸς τοῦ ἱερατείου αὐτοῦ, πάντες δὲ οἱ μὴ ἔχοντες ἱερατικῆς ἀξίας ἔξω ἵστανται, ὅποιοι ἂν ὦσι, κἄν τε μοναχός, κἄν τε λαϊκός. Καὶ κλείονται αἱ θύραι τοῦ ναοῦ. Ὁ δὲ ἀρχιερεὺς ἀποτίθησι τὰ ἅγια λείψανα ἐν τετραποδίῳ. Καὶ λαβὼν θήκην μικρὰν ἤγουν κουτὶ μολυβδοῦν, τίθησιν αὐτὰ ἐν τούτῳ. Καὶ ἀπελθὼν εἰς τὸν τόπον, ἐν ᾧ ἵσταται ὁ στύλος ὁ μέλλων βαστάζειν τὴν ἁγίαν τράπεζαν βάνει τὴν θήκην εἰς τὸν εὐτρεπισθέντα τόπον. Ἐάν τε εἰς τὴν κορυφὴν τοῦ στύλου, κἄν τε εἰς τὴν γῆν χαμηλὰ κάμουν μικρὸν λάκκον ὅσῳ νὰ χωρῇ τὴν θήκην. Καὶ ὡσὰν βαλθῇ ἡ θήκη ἐπιτήδεια εἰς τὸν τόπον της μετὰ τῶν ἁγίων λειψάνων, λαβὼν τὸ μῦρον ὁ ἀρχιερεὺς ἐπιχέει αὐτοῖς ἐν τῇ θήκῃ. Καὶ λαβὼν πάλιν τὸ σκέπασμα τῆς θήκης σκεπάζει αὐτὸ ἀσφαλῶς νὰ μὴν ἀπομείνῃ καμμία ἀραιωμάδα. Καὶ ὕστερον βάνει ἀπάνου ἢ κηρομαστίχον ἢ γύψον ἢ μολίβον ὅσον νὰ ἰσώσῃ ὁ λάκκος. Καὶ ἀσφαλίζουσιν αὐτὰ μετὰ προσοχῆς μεγάλης. Εἶτα λέγουσιν ἐκ τρίτου Αἰωνία ἡ μνήμη τῶν μακαρίων κτητόρων. Καὶ πάλιν ὁ ἀρχιερεὺς εὔχεται τὰς παρούσας εὐχὰς μυστικῶς τοῦ Κου δεηθ. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καὶ ταύτην τὴν δόξαν... Ὅτι σοῦ ἐστιν ἡ βασιλεία.. τῶν αἰώνων. Καὶ μετὰ τὸ Ἀμὴν ἐπιλαμβάνεται τῆς τραπέζης ὁ ἀρχιερεὺς ἅμα τοῖς συμπαροῦσιν αὐτῷ ἱερεῦσι καὶ διακόνοις. Καὶ τιθέασιν αὐτὴν ἐπάνω τοῦ στύλου προαπολυθείσης τῆς κηρομάστιχος παρ' αὐτοῦ τοῦ ἱεράρχου. Καὶ τότε τεθείσης ἐπάνω τῆς τραπέζης φέρνουν καὶ μάστορα καὶ τὴν εὐτρεπίζει καὶ τὴν στερεόνει ἰσάζοντάς την εἰς τὸν τόπον της μετὰ πάσης εὐλαβείας λέγοντες καὶ τὸν παρόντα ψαλμόν ἐκ τρίτου σχηματικὸς τὸ κατὰ δύναμιν. Λέγεται δὲ τρὶς οὕτος τελειώνοντας τὴν εὐχὴν ὁ ἀρχιερεὺς ἔρχεται εἷς τῶν ἱερέων καὶ λέγει τὸν ψαλμὸν καὶ ὁ ἀρχιερεὺς μετὰ τῶν λοιπῶν ἱερέων ἐνεργεῖ τὰ τῆς ἁγίας Τραπέζης, καθὼς ἐγράψαμεν. Ὑψώσω σε, Κύριε...

θεν, ὅσον ἐπὶ δάκτυλον μέγαν, πρὸς τὸ μὴ τὴν κηρομαστίχην ἐκχεῖσθαι. Οὕτως οὖν, ὡς εἴρηται, περιελίττοντες ἕκαστον κίονα διὰ τοῦ χάρτου, κατασφίγγουσιν ἔξωθεν σφηκώματι, τρὶς ἄνω περιειλουμένῳ καὶ κάτω τρίς. Εἶτα τοῦ τε ἄνω καὶ τοῦ κάτω δεσμοῦσι τὰ ἄκρα ἐπ'

---

στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ἐκφώνησις. Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

***X*** Καὶ ἀσπάζονται τὸ ἅγιον εὐαγγέλιον

***Z H N X*** υ Καὶ πάραυτα πάλιν ἐπιτίθησι τὰ λείψανα μετὰ τοῦ δίσκου τῇ ἑαυτοῦ (ἐπὶ τῆς ἑαυτοῦ ***Z***) κεφαλῇ. Σφραγιζομένων δὲ παρ' αὐτοῦ τῶν πυλῶν καὶ ἀνοιγομένων καὶ πάντων μετὰ τὴν ἄνοιξιν εἰσερχομένων δοξάζουσιν οἱ ψάλται καὶ λέγουσιν· Ὡς τοῦ ἄνω στερεώματος (τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα...). Τούτου δὲ ψαλλομένου τὰ σεβάσμια λείψανα παρὰ τοῦ ἀρχιερέως εἰς τὴν ἡτοιμασμένην αὐτοῖς ἀποτίθενται θήκην· εἴτε κατὰ τὸ ἔδαφος μεταξὺ τῶν πρὸς ἀνατολὰς κιόνων, εἴγε τὴν τράπεζαν ὑπερείδουσι κίονες· εἴτε βωμοῦ ταύτην βαστάζοντος κατὰ τὸ μέσον αὐτοῦ μέρος, τὸ πρὸς τὸ σύνθρονον. Μῦρον δὲ καὶ τούτοις τοῦ ἀρχιερέως ἐπιχέοντος ἐπιτίθεται παρ' αὐτοῦ τὸ πῶμα τῇ θήκῃ, καὶ κατασφαλίζονται πάντοθεν αἱ τούτου ἁρμογαί, διὰ κηρομαστίχης ἢ γύψου ἢ καὶ μολύβδου. Καὶ λέγει καθ' ἑαυτὸν ὁ ἀρχιερεὺς τὴν εὐχὴν ταύτην:

Εὐχὴ

*Κύριε ὁ Θεὸς* ἡμῶν, ὁ καὶ ταύτην τὴν δόξαν τοῖς ὑπὲρ σοῦ ἀθλήσασιν ψαλμ ζ 1
ἁγίοις μάρτυσι δωρησάμενος, τὸ σπείρεσθαι ἐν πάσῃ τῇ γῇ τὰ λείψανα αὐτῶν ἐν τοῖς ἁγίοις οἴκοις σου, καὶ καρποὺς ἰαμάτων βλαστάνειν· αὐτός, δέσποτα, ὁ πάντων τῶν ἀγαθῶν χορηγὸς ὑπάρχων, πρεσβείαις τῶν ἁγίων, ὧν εὐδόκησας τὴν ἀπόθεσιν τῶν λειψάνων ἐν τῷ σεπτῷ οἴκῳ σου γενέσθαι,

---

Ὁ ***X*** «... ὡς τοῦ ἄνω στερεώματος. Ψάλλονται ἰδιόμελα τῶν ἐγκαινίων. Εἶτα λέγεται τὸ ἀπολυτίκιον τοῦ ἁγίου οὗ ἐστιν ὁ ναὸς ὁ ἐγκαινιζόμενος. Τὸ τρισάγιον, τὸ προκείμενον τοῦ ἀποστόλου... Πρὸς Ἑβραίους ἐπιστολῆς...» Μετὰ τὸ τέλος δὲ τῆς λειτουργίας παρατίθενται δύο εὐχαὶ (εὐχὴ εἰς τὴν κατάθεσιν λειψάνων. Εὐχὴ ἑτέρα μετὰ τὴν κατάθεσιν... Ἴδε κατωτέρω).

Οἱ ***Ξ*** e Καὶ εὐθὺς ἐπιτίθησι τὰ λείψανα... (περίπου ὡς ἐν ***Z***—υ)... ἡτοιμασμένην αὐτοῖς θήκην κατασφαλίζονται καὶ μύρον... ἢ γύψου. Εἶτα ἐκβάλλεται ἀπὸ τῆς ἐκκλησίας πᾶς ὁ λαὸς ἤγουν οἱ λαϊκοὶ καὶ μετὰ τὸ ἀποτεθῆναι ὁ ἀρχιερεὺς τὰ ἅγια λείψανα εἰς τὸν ἡτοιμασμένον αὐτοῖς τόπον λέγει τὴν εὐχὴν ταύτην Κύριε ὁ Θεὸς ἡμῶν ὁ καὶ ταύτην...»

αὐτὸ τοῦτο παρηρτημένα περὶ τὸ μέσον ἄγουσι καὶ ἀντιπαραλλάττοντες σχῆμα σταυρικὸν ἔμπροσθεν ἀποτελοῦσι μεταξὺ τοῦ ἄνω καὶ κάτω δεσμοῦ καὶ τότε φέροντες ὄπισθεν ἀποδεσμοῦσι. Μετὰ δὲ ταῦτα περιτιθέασι μάρμαρον τετριμμένον ταῖς ἄνω περιφερείαις τῶν κιόνων παρὰ τὰ ἐξέχοντα τοῦ χάρτου διπλώματα πρὸς τὸ μὴ διά τινος βραχείας ὀπῆς τὴν κηρομαστίχην ἐκρεῖν. Καὶ τῆς χύτρας κομιζομένης ἐπιχεῖται τοῖς κίοσιν ἡ κηρομαστίχη, μέχρις ἂν πληρωθῶσιν αἱ διὰ τοῦ χάρτου χειλώσεις. Ἀφιεμένης δὲ αὐτῆς ψυχρανθῆναι μικρόν, ζέουσα γάρ ἐστιν

**X** πλύνεται πάλιν μετὰ χλιαροῦ ὕδατος καὶ

**Z H N X** υ e ὁ ἀρχιερεὺς εὔχεται οὕτως:

*Κύριε, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν*, ὁ πάντα ποιῶν καὶ πραγματευόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, πρόσδεξαι ἡμῶν τῶν ἀναξίων δούλων σου τὰς δεήσεις καὶ ἱκάνωσον ἡμᾶς ἐπὶ τῆς παρούσης ὥρας εἰς τὸ ἀκατακρίτως τὸν ἐγκαινισμὸν ἐπιτελέσαι τοῦ ναοῦ ψαλμ. Δευτε

---

ἀξίωσον ἡμᾶς ἀκατακρίτως τὴν ἀναίμακτόν σοι προσενεγκεῖν ἐν αὐτῷ θυσίαν· καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, ἀντάμειψιν παρέχων καὶ ἐν τούτῳ τοῖς ἀθλήσασιν ὑπὲρ τοῦ ἁγίου ὀνόματός σου, τὸ θαυματουργεῖν δι' αὐτῶν πρὸς ἡμετέραν σωτηρίαν. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα κτλ.

**Ξ** e Εἶτα ἐκβάλλεται ἀπὸ τῆς ἐκκλησίας πᾶς λαϊκὸς καὶ πανταχόθεν ταύτης σφραγιζομένης (ἀσφαλιζομένης e) ἀλλάσσουσιν οἱ ἱερεῖς, ὁ δὲ ἀρχιερεύς, ὁ τὸν ἐγκαινισμὸν ἐκτελῶν, περιτυλίσσεται ἐπάνωθεν τῆς στολῆς αὐτοῦ καὶ τοῦ ὠμοφορίου σάβανον οὕτως ἀπὸ τῶν μασχαλῶν καὶ ἄχρι ποδῶν

*2 τιμίοις μάρτυσι* **N**
*3 βλυστάνειν αὐτὸς υ 4 δέσποτα πάντων τῶν ἀγαθῶν* **Z H N Ξ X** *υ*
*5 ἐν τούτῳ τῷ σεπτῷ* **Z H N Ξ** *υ ἐν τούτω σου τῷ σεπτῷ* **X** *οἴκῳ σου* **X** *6 ἀξίωσον ἀκατακρίτως ἡμᾶς* **X** *προσενεγκεῖν θυσίαν* **Ξ**
*8 ὀνόματός σου θαυματουργεῖν* **Z** *τοῦ θαυματουργεῖν* **X**
*9 πρὸς τὴν ἡμετέραν υ Ἐκφών. Ὅτι σοῦ* **N** *υ.*

---

Οἱ **Z H N** υ μετὰ τὴν εὐχὴν Κύριε ὁ Θεὸς ἡμῶν... καὶ τὴν ἐκφώνησιν Ὅτι σοῦ ἐστιν... συνεχίζουσιν ὡς ἑξῆς: «Καὶ εὐθὺς οἱ ψάλται δοξάζουσιν· ἐπισυνάπτουσι τὸ Τρισάγιον καὶ πᾶσα ἡ θεία μυσταγωγία πληροῦται κατὰ τὴν τῶν ἐγκαινίων ἀκολουθίαν».

Ὁ **N** μεταξὺ τῆς ἐκφωνήσεως Ὅτι σοῦ ἐστιν... παρεμβάλλει «εὐχὴ ἑτέρα εἰς τὰ καταθέσια τῶν ἁγίων λειψάνων» καὶ «Εὐχὴ γ'. μετὰ τὴν κατάθεσιν τῶν ἁγίων λειψάνων. (Ἴδε κατωτέρω). Καὶ εὐθὺς οἱ ψάλται δοξάζουσι, ἐπισυνάπτουσι τὸ Τρισάγιον καὶ πᾶσα ἡ θεία μυσταγωγία...»

τούτου, τοῦ πρὸς σωτηρίαν ἡμῶν καὶ τὴν σὴν δοξολογίαν οἰκοδομηθέντος, ἐπ' ὀνόματι τοῦ ἁγίου (δεῖνος), καὶ τὴν ἔφοδον τῆς ἐν αὐτῷ ποιῆσαι τραπέζης. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί...

**Ζ Η Ν Χ** υ (καὶ οἱ **Ξ** e περίπου τὰ αὐτά). Καὶ μετὰ τὸ Ἀμὴν ἐπιλαμβάνεται τῆς τραπέζης ἅμα τοῖς συμπαροῦσι (ἱερεῦσι καὶ διακόνοις υ), προσκαλουμένου καὶ τεχνίτου τινός, εἰ δεήσειε, καὶ τιθέασι ταύτην ἐπὶ τοὺς κίονας (ἢ εἰς τὸν κίονα ἢ εἰς τὸν βωμὸν **Ξ** e) ψαλλομένου δὲ τρίτον τοῦ ρμδ' ψαλμοῦ τοῦ Ὑψώσω σε, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. [Οἱ **Ξ** υ παραθέτουσιν ὁλόκληρον τὸν ψαλμόν]. Δοξάζουσι. (Εἶτα λέγουσι Δόξα καὶ νῦν υ). Καὶ ξεομένης τῆς ἀπορρευσάσης κηρομαστίχης, καθαιρομένων τε τῶν τόπων, ἐφ' οὓς ἔρρευσε (καὶ ἐν τῷ... ἀποσπογγίζεσθαι τὸ θαλασσίδιον **Ξ** e) πάλιν λέγουσι ψαλμὸν κβ' Κύριος ποιμαίνει με.

**Ξ** e Λέγεται δὲ ὁ ψαλμὸς ἕως ἀπαρτισθῇ ἡ ἐνίδρυσις τῆς ἁγίας

*1 ὁ Θεὸς καὶ σωτὴρ* **Ζ Χ** *2 πρόσδεξαι τὴν δέησιν ἡμῶν* **Η Ζ Ξ Χ** *υ*
*5 τούτου τοῦ πρὸς τὴν δοξολογίαν* **Ζ Η Ν Ξ Χ** *υ*
*6 καὶ τὴν ἔγερσιν τῆς ἐν αὐτῷ ποιήσασθαι τραπέζης. Ἐκφών.* **Ζ Η Ν Ξ Χ** *υ*

φθάνων καὶ δεσμεῖται τὰς μὲν δύο ἄκρας ὀπίσω ἐπάνω τῆς ζώνης, τὰς δὲ δύο καταλιμπάνει καταδέσμους καὶ μετὰ ζώνης ζώννυται καὶ ἑκατέρας τῶν βραχιόνων αὐτοῦ ἐντυλίσσεται μετὰ μανδηλίου καὶ ζωναρίου. Καὶ οὕτω στολισάμενος... (συντομώτερόν πως, ἀλλ' ἄνευ οὐσιωδῶν παραλλαγῶν πρὸς τοὺς ἄλλους κώδικας)... καὶ περιδεσμεῖται τὸν κίονα μετὰ χαρτίου διὰ τὸ μὴ χυθῆναι τὸ κηρομάστιχον. Καὶ δεσμοῦσιν αὐτὸ μετὰ τοῦ δωδεκακλώνου σφιγγόμενος οὕτως: Ἄνω εἰς τὴν κεφαλὴν τρίτον περιελίσσουσι καὶ δεσμοῦσι καὶ μέσον ἀγαγόντες καὶ ποιοῦντες σχῆμα σταυρικὸν ἔμπροσθεν ἀποτελοῦσι μεταξὺ τοῦ ἄνω καὶ κάτω δεσμοῦ καὶ φέροντες ὄπισθεν τὰ τούτου ἄκρα δεσμοῦσι καὶ τηνικαῦτα περιτιθέασι μάρμαρον... ὅπῆς διαρρεῦσαι τὴν κηρομαστίχην. Τῆς χύτρας... ὁ ἀρχιερεὺς εὔχεται οὕτω: Κύριε, ὁ Θεός, ὁ Σωτήρ...

e Εἶτα ἐπιτίθενται καὶ ἐπωθοῦσι ταῖς χερσὶν αὐτῶν τὴν τράπεζαν ὥστε ἐναρμῶσαι καλῶς καὶ ἐπισφίγξαι. Ταῦτα δὲ πάντα γίνονται, ἐάν εἰσι πολλὰ κιόνια εἴτε ἕν. Βωμοῦ...»

ὲ ... Ἐὰν δὲ λάχῃ βωμὸς ἤγουν στύλος τετράγωνος...

ὁ ὲ μετὰ τὸν ψαλμὸν Ὑψώσω σε... «Εἶτα λέγουσι τὸ Δόξα καὶ νῦν. Καὶ ξεομένης τῆς ἀπορρεούσης κηρομάστιχος, καθαιρομένων τε τῶν τόπων ἐφ' οὓς ἔρρευσε, πάλιν λέγομεν τὸν παρόντα ψαλμὸν οὕτως Κύριος ποιμαίνει με...

Τραπέζης. Εἶτα **Ζ Η Ν Ξ Χ** υ e δοξάζουσι καὶ φησὶν ὁ ἀρχιερεὺς (ἐκφωνεῖ ὁ ἱερεὺς **Ξ**)

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα (καὶ μετὰ τὸ Ἀμὴν υ) ταῖς χερσὶ πανταχόθεν καταπιέζουσιν ἠρέμᾳ τὴν τράπεζαν εἰς τὸ προσαρμοσθῆναι τοῖς κίοσιν αὐτὴν καὶ καλῶς ἱδρυθῆναι. Ταῦτα δὲ γίνεται πάντα τῆς τραπέζης ὑπὸ κιόνων ἢ καὶ κίονος ἑνὸς βασταζομένης. Βωμοῦ δὲ ὑποκειμένου τετραγώνου, εἰ μὲν ἡ ἐπικειμένη τούτῳ τράπεζα τετράγωνος οὖσα τυγχάνει, ταῖς τέτταρσι γωνίαις ἐπιχεῖται καὶ οὕτως ἀπαρτίζεται ἡ καθίδρυσις. Εἰ δὲ ἐκ διαφόρων εἴη συγκειμένη μαρμάρων, τὰ μὲν ἄλλα συντίθενται παρὰ τοῦ τεχνίτου, τὸ δὲ μέσον τετράγωνον καθιδρύεται διὰ κηρομαστίχης, μήτε χάρτου περιδεσμουμένου, μήτε τῶν ἄλλων τινὸς ἐπακολουθοῦντος. Μετὰ δέ γε τὸ καθιδρυθῆναι τὴν τράπεζαν, τάπης εὐθὺς πρὸ τῶν ἁγίων θυρῶν τίθεται καὶ προσκεφάλαιον. Καὶ τοῦ ἀρχιδιακόνου λέγοντος. Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα τοῦ Κυρίου δεηθῶμεν, ὁ ἀρχιερεὺς ἐπ' αὐτοῦ γονυκλιτεῖ καὶ εὔχεται οὕτως:

*Ὁ Θεὸς* ὁ ἄναρχος καὶ *ἀΐδιος*, ὁ ἐκ μὴ ὄντων *εἰς τὸ εἶναι τὰ πάντα* παραγαγών· *ὁ φῶς οἰκῶν ἀπρόσιτον* καὶ *θρόνον* ἔχων *τὸν οὐρανόν, τὴν δὲ γῆν ὑποπόδιον*· ὁ τῷ Μωϋσῇ πρόσταγμα δοὺς καὶ ὑπογραμμόν, *τῷ δὲ Βεσελεὴλ πνεῦμα σοφίας* ἐνθείς, καὶ ἱκανώσας αὐτοὺς πρὸς ἀπαρτισμὸν *τῆς τοῦ μαρτυρίου σκηνῆς*, ἐν ᾗ *λατρείας δικαιώματα* ἦν, τῆς ἀληθείας εἰκόνες καὶ προχαράγματα· ὁ τῷ *Σολομῶντι* πλάτος καὶ *χῦμα καρδίας* δωρησάμενος καὶ δι' αὐτοῦ τὸν πάλαι ναὸν ἀναστήσας, τοῖς ἁγίοις δὲ καὶ πανευφήμοις σου ἀποστόλοις τὴν ἐν Πνεύματι λατρείαν καὶ *τῆς σκηνῆς τῆς ἀληθινῆς* ἐγκαινίσας τὴν χάριν καὶ δι' αὐτῶν τὰς ἁγίας σου ἐκκλησίας καὶ *τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων*, ἐν πάσῃ τῇ γῇ καταφυτεύσας, εἰς τὸ προσάγεσθαί σοι τὰς ἱερὰς καὶ ἀναι-

Σολ. Σο[...] α 14. — Α' Τιμ. — Ἡσ. ξα — Ἐξόδ. — Ἐξόδ. — Ἑβρ. — Γ' Βασι[...] — Ἑβρ. η — ψαλμ.

*1 ὁ ἐκ τοῦ μὴ ὄντος* **Ζ** *εἰς τὸ εἶναι παραγαγὼν* **Ξ** *εἰς τὸ εἶναι ἡμᾶς παραγαγὼν υ*
*5 λατρείας καὶ δικαιώματα* **Χ** *λατρείας εἰκόνες καὶ προχαραγ.* **Ξ**
*7 τὸν παλαιὸν ναὸν* **Ξ** *8 πανευφήμοις ἀποστόλοις* **Ξ**
*10 τὰς ἁγίας ἐκκλησίας καὶ τὰ θυσιαστήρια* **Ζ Η Ν Χ**
*11 καταφυτεύσας ἐν πάσῃ τῇ γῇ* **Ξ**, *προσάγεσθαί σοι τὰς νοερὰς θυσίας* **Ξ**, *τὰς νοερὰς καὶ ἀναιμάκτους* **Ξ Η Χ Ν**

---

Ὁ $Σ_8$ παραλείπει πάντα τὰ ἐν τῷ μεταξὺ καὶ συνεχίζει ὡς ἑξῆς: «... εἰς τῶν διακόνων εὐχήν. Καὶ λέγοντος αὐτοῦ Κλίνοντες τὰ γόνατα, κλίνει γόνυ ὁ πατριάρχης ἐπὶ τὰς θύρας τοῦ ἱερατείου διὰ τὸ μήπω τὴν ἐν αὐτῷ ἀποτεθεῖσαν ἁγίαν τράπεζαν ἁγιασθῆναι καὶ ὅτε ἀναστῇ ὁ πατριάρχης, ὁ διάκονος λέγει Ἀντιλαβοῦ, σῶ-

μάκτους θυσίας· ὁ καὶ τοῦτον τὸν ναὸν νῦν εὐδοκήσας ἐπ' ὀνόματι οἰκο-
δομηθῆναι τοῦ ἁγίου (τοῦ δεῖνος) πρὸς δόξαν σήν, καὶ τοῦ μονογενοῦς
σου Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· αὐτός, ἀθάνατε, μεγαλόδωρε Βασι-
λεῦ, *μνήσθητι τῶν οἰκτιρμῶν σου καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσι·* ψαλμ. κδ 6
καὶ μὴ βδελύξῃς ἡμᾶς, πλήθει μεμολυσμένους ἁμαρτιῶν, καὶ μὴ *βε-* ψαλμ. πη 34
*βηλώσῃς τὴν διαθήκην σου* διὰ τὴν ἡμετέραν ἀκαθαρσίαν· ἀλλὰ πάριδε
καὶ νῦν τὰ παραπτώματα ἡμῶν καὶ ἐνίσχυσον ἡμᾶς καὶ ἱκάνωσον,
τῇ χάριτι καὶ ἐπιφοιτήσει τοῦ ἁγίου σου καὶ ζωοποιοῦ Πνεύματος,
ἐκτελέσαι ἀκατακρίτως τὸν ἐγκαινισμὸν τοῦ ναοῦ τούτου καὶ τοῦ
ἐν αὐτῷ θυσιαστηρίου ποιήσασθαι τὴν καθιέρωσιν· ἵνα καὶ ἐν τούτῳ
εὐλογοῦντές σε *ψαλμοῖς καὶ ὕμνοις* καὶ μυστικαῖς λειτουργίαις τὴν Κολοσ. γ 16
σὴν εὐσπλαγχνίαν διὰ παντὸς μεγαλύνωμεν. Ναί, *δέσποτα Κύριε,* Γενεσ. ιε 2, 'Ιε
*ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς,* ἐπάκουσον ρεμ. δ 10. ψ. ξδ
ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ κατάπεμψον τὸ πανάγιόν
σου Πνεῦμα, τὸ προσκυνητὸν καὶ παντοδύναμον, καὶ ἁγίασον τὸν
οἶκον τοῦτον. Πλήρωσον αὐτὸν *φωτὸς ἀϊδίου. Αἱρέτισον* αὐτὸν *εἰς κα-
τοικίαν* σήν. Ποίησον αὐτὸν *σκήνωμα δόξης σου.* Κατακόσμησον αὐτὸν Σοφ. Σολ. ζ 26 ψ. ρλα 14, μβ

*12 καὶ τοῦτον νῦν τὸν ναὸν* **Ζ Η Ν Ξ Χ** *εὐδόκησας ὀνόματι* **Η Ζ Χ Ν** *εὐδόκ. οἰκοδομ. τοῦ ἁγ.* **Ξ**

*14 τοῦ παναγίου σου Πνεύματος* **Ζ Η Ν Χ** *υ παναγίου Πνεύμ.* **Ξ**
*ἀθάνατε καὶ μεγαλόδ.* **Η Ν Ξ** *υ ἀθάνατε Βασιλεῦ* **Χ Ζ**

*15 τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου* **Χ** *αἰῶνος εἶ σὺ* **Ζ Ξ** *16 μὴ βδελύξῃ* **Ζ Η Ν Χ** *υ ἁμαρτιῶν μηδὲ βεβηλώσῃς* **Ζ Η Ν Ξ Χ** *υ 18 ἱκάνωσαι* **Ξ**

*19 τοῦ ζωοποιοῦ καὶ ἁγίου σου Πνεύματος* **Η Ν Ξ Χ** *υ τοῦ ἁγίου καὶ ζωοποιοῦ σου* **Ζ**

*21 ποιήσασθαι τὴν κατάθεσιν* **Ξ** *θυσιαστηρίου τὴν καθιέρωσιν, ἵνα* **Χ** *22 εὐλογοῦμέν σε* **Ζ Η Ξ** *εὐλογῶμέν σε* **Χ** *υ*
*καὶ τὴν σὴν εὐσπλαγχνίαν* **Ζ Η Ν Ξ** *υ 24 Κύριε ὁ Θεὸς ἡμῶν ἡ ἐλπὶς* **Ζ**

*26 Πνεῦμα καὶ προσκυνητὸν* **Η** *πανάγιον καὶ προσκυνητὸν Πνεῦμα καὶ παντοδ.* **Ξ** *πανάγιόν σου καὶ προσκυνητὸν καὶ παντοδ. Πνεῦμα* **ΝΖ**

*27 αἱρέτισαι* **Ζ Η Ν Ξ Χ** *αἱρέτ. αὐτὸν τόπον σκηνώματος δόξης σου* **Η Ζ Ν Χ Ξ** *υ εἰς κατοίκησιν σήν. Ποίησον υ*

---

σου... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦδε ἱερωσύνης, διακοσύνης, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτοῦ καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ... Ἐκτενέστερον Ὑπὲρ αὐτοῦ καὶ τῶν συμπαρόντων αὐτῷ ἱερέων, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸν οἶκον τοῦτον καὶ τὸ ἐν αὐτῷ θυσιαστήριον... Καὶ ὑπὲρ πάντων τῶν χρῃζόντων... Τῆς παναγίας... Ὁ δὲ πατριάρχης ἔν τε τῷ γονυκλιτεῖν, ἔν τε τῷ ἱστᾶναι αὐτὸν καὶ γίνεσθαι τὴν τοῦ διακόνου εὐχήν, ἐπεύχεται ταῦτα· Ὁ Θεὸς [ὁ ἄναρχος... Ἐκφώνως Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις... Τὰ αὐτὰ καὶ ὁ Β. μετ' ἀσημάντων διαφορῶν.

τοῖς θείοις σου καὶ ὑπερκοσμίοις χαρίσμασι. Κατάστησον αὐτὸν λιμένα χειμαζομένων, ἰατρεῖον παθῶν, καταφυγὴν ἀσθενῶν, δαιμόνων φυγαδευτήριον, *ἐν τῷ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεωγμένους ἐπ' αὐτὸν ἡμέρας καὶ νυκτός*, καὶ τὰ *ὦτά σου προσέχοντα εἰς τὴν δέησιν* τῶν ἐν φόβῳ σου καὶ εὐλαβείᾳ ἐν αὐτῷ εἰσιόντων καὶ *ἐπικαλουμένων* τὸ πάντιμον καὶ προσκυνητὸν *ὄνομά σου· ὅσα ἂν αἰτήσωνταί σε, καὶ σὺ ἀκούσεις ἐν τῷ οὐρανῷ ἄνω, καὶ ποιήσεις ἔλεος, καὶ ἵλεως ἔσῃ αὐτοῖς*. Φύλαξον αὐτὸν *ἕως τῆς συντελείας τοῦ αἰῶνος* ἀσάλευτον, καὶ τὸ ἐν αὐτῷ *θυσιαστήριον ἅγιον ἁγίων* ἀνάδειξον τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἁγίου σου Πνεύματος. Δόξασον αὐτὸν ὑπὲρ τὸ κατὰ νόμον ἱλαστήριον, ὥστε τὰς ἐν αὐτῷ τελουμένας ἱερουργίας εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον καταντᾶν καὶ τὴν χάριν ἡμῖν κομίζειν τῆς σῆς ἀχράντου ἐπισκ·άσεως. Θαρροῦμεν γὰρ οὐκ εἰς τὴν τῶν ἡμετέρων ἀναξίων χειρῶν ὑπουργίαν, ἀλλ' εἰς τὴν σὴν ἄφατον ἀγαθότητα.

Γ' Βασ
ψαλμ. Νεεμ.
ψαλμ. α
ἀλλ.
Γ' Βασ
32, 34 -
Ματθ.
ξόδ.κθ3

**Ζ Η Ν Χ** Μέλλοντος δὲ αὐτοῦ ἀναστῆναι λέγει ὁ ἀρχιδιάκονος
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον καὶ διαφύλαξον ἡμᾶς.
Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.
ὲ Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου.
ὲ Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου.
Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.
ὲ Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).
Ὑπὲρ τῶν εὐσεβεστατων.
Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι.
Ὑπὲρ τοῦ ἔργου τῶν χειρῶν ἡμῶν καὶ τῶν συνόντων ἀδελφῶν ἡμῶν τοῦ Κ. δεηθῶμεν.
ὲ Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸν οἶκον τοῦτον καὶ τὸ ἐν αὐτῷ θυσια-

*28 Καὶ κατακόσμησον* **Ζ**
*30 καταφύγιον ἀσθενῶν* **Ζ Η Ν Χ** *καταφύγιον ἀσθενούντων* **Ξ**
*31 εἶναι ὀφθαλμούς σου* **Η Ξ Χ** *υ* *32 τῶν ἐν φόβῳ σῷ* **Ν**
*34 ὡσᾶν αἰτήσωνται* **Η Χ** *αἰτήσωνταί σοι* **Χ** *ὡς ἂν ὁ αἰτήσωνταί σε* **Ξ**
*καὶ σὺ εἰσακούσῃ* **Ζ Η Ν Ξ Χ** *υ 35 καὶ ποιήσεις καὶ ἵλεως ἔσῃ· φύλαξον* **ΖΗΝΞΧ** *υ*
*36 ἕως τῆς συντελείας ἀσάλευτον* **Ξ** *38 Δόξασον αὐτὸ* **Χ**
*40 καὶ νοερὸν θυσιαστήριόν σου* **Χ** *καταντᾶ υ*
*40 τὴν χάριν ἡμῖν τῆς σῆς ἀχράντου κατακομίζειν ἐπισκ.* **Ζ Η Ν Ξ** *υ* **Χ**
*41 οὐκ εἰς τῶν ἡμετέρων υ χειρῶν ἱερουργίαν* **Ζ**
*42 ἀγαθότητα. Ὅτι σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.* Ἀμήν. *Ὁ διάκονος Ἀντιλαβοῦ . . .* **Ξ**

---

Οἱ **Ζ Η Ν** παραλείπουσι τὸ Ἐν εἰρήνῃ . . . καὶ προχωροῦσιν εὐθὺς εἰς τὸ Ὑπὲρ τῆς ἄνωθεν. Οἱ **Ξ** e «Ἀντιλαβοῦ . . . ἐλέησον καὶ Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κ. δ. Ὑπὲρ τῆς ἄνωθεν . . . »

στήριον τῇ ἐπιφοιτήσει καὶ δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν.

ὲ Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων.

ὲ Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς.

Ἀντιλαβοῦ, σῶσον.

ὲ Τῆς Παναγίας, ἀχράντου κτλ.

Ἐκφώνησις. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις, τοῖς ὑπὲρ σοῦ ἀθλήσασι τιμίοις μάρτυσιν ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

***Ζ Η Ν Χ*** υ (περίπου τὰ αὐτά, συντομώτερον καὶ ὁ ***Ξ*** καὶ ὁ $\boldsymbol{\Sigma}_8$)

Καὶ λεγομένου τοῦ Ἀμὴν εἰσπορεύεται ὁ ἀρχιερεὺς καὶ ἵσταται πρὸ τῆς ἁγίας Τραπέζης, νίτρον τε λευκὸν λαμβάνων σταυροὺς δι᾽ αὐτοῦ ποιεῖ τρεῖς ἐπ᾽ αὐτῆς, μέσον ἕνα καὶ δύο παρ᾽ ἑκάτερα καὶ οὕτως ἐκ τοῦ θερμηροῦ ἀγγείου βάλλεται χλιαρὸν ὕδωρ εἰς σίτλαν ἢ ἐπιχύτην. Τούτῳ δὲ τὴν κεφαλὴν ὁ ἀρχιερεὺς ἐπικλίνων εὔχεται οὕτως:

*Κύριε ὁ Θεὸς* ἡμῶν, ὁ ἁγιάσας τὰ ρεῖθρα τοῦ Ἰορδανου διὰ τῆς *σωτηριώδους* σου *ἐπιφανείας*, αὐτὸς καὶ νῦν κατάπεμψον τὴν χάριν τοῦ παναγίου σου Πνεύματος ἐπὶ τὸ παρόν σου θυσιαστήριον καὶ εὐλόγησον ἡμᾶς καὶ τὸ ὕδωρ τοῦτο πρὸς ἁγιασμὸν καὶ τελείωσιν

ψαλμ. ζ1 & ἀλλ
Α´ Τιμοθ. στ14
Τίτ. β11

*1 καὶ ἁγίοις τοῖς ὑπὲρ σοῦ* ***Ζ Η Χ*** *υ ὲ ἀθλήσασιν ἐπαναπαύῃ* ***Ζ*** *ὲ καί ἁγίοις ἐπαναπαύει* ***Ξ***

*13 τὴν χάριν σου τῇ δυνάμει τοῦ ἁγίου* ***Ζ*** *14 τοῦ ἁγίου σου Πνεύματος καὶ εὐλόγησον τὸ ὕδωρ τοῦτο* ***Ζ Η Ν Χ*** *υ τοῦ ἁγίου σου Πνεύμ. καὶ εὐλόγησον τὸν οἶκον τοῦτον* ***Ξ***

*15 τὸ ὕδωρ τοῦτο. Καὶ σφραγίζει ἐπάνω τοῦ ὕδατος τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός· εἶτα ἐπιφέρει πρὸς ἁγιασμὸν υ τελείωσιν τοῦ θυσιαστηρίου σου τούτου* ***Ζ*** *υ* ***Ν*** *θυσιαστηρίου τούτου* ***Η Ξ Χ***

---

Οἱ ***ΖΗΝΧΞ*** υ μετὰ τὸ Ὑπὲρ τῆς εἰρήνης, παραλείποντες τὸ Ὑπὲρ τοῦ ἁγίου Οἴκου... καὶ Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων..., προχωροῦσιν εἰς τὸ Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ καὶ τῶν συμπαρόντων αὐτῷ ἱερέων (καὶ διακόνων καὶ λοιπῶν υ) τοῦ Κ. δ. (Ὁ ***Ξ*** Ὑπὲρ τοῦ ἀρχιεπ. ἡμῶν τοῦδε, τοῦ τὸν ἐγκαινισμὸν νυνὶ ποιοῦντος τοῦ Κ. δ.). Εἶτα τὴν αἴτησιν ὑπὲρ τοῦ ἁγιασθῆναι... Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασ·λέων ἡμῶν τῶνδε. Ὑπὲρ τῆς πόλεως ταύτης. Ὑπὲρ τοῦ ρυσθῆναι. Τῆς Παναγίας ἀχράντου... Μαρίας καὶ τοῦ ἁγίου οὗ ἐστιν ὁ ἐγκαινισμὸς τοῦ ναοῦ μετὰ πάντων τῶν ἁγίων...

Ὁ υ παραλείπει τὰς Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ συμπολεμῆσαι... Ὑπὲρ τοῦ ἔργου τῶν χειρῶν ἡμῶν..., καθὼς καὶ τὴν Ὑπὲρ πλεόντων...

Οἱ ***Ξ*** ε Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων... Μετὰ τὸ Ὑπὲρ τῆς πόλεως ταύτης... Ὑπὲρ εὐκρασίας ἀέρων...

τοῦ ἁγίου σου θυσιαστηρίου. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

***Ζ Η Ν Χ*** υ ***Ξ Σ***$_{8}$ e Μετὰ δὲ τὴν εὐχὴν ταύτην ἀπὸ τοῦ τοιούτου χλιαροῦ ὕδατος τρίτον ἐπιχέει (σταυροειδῶς υ) τῇ τραπέζῃ λέγων

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος (νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ***Χ***) Ἀμήν.

***Ζ Η Ν Χ*** υ (περίπου τὰ αὐτὰ καὶ οἱ ***Ξ*** e) Καὶ διὰ τοῦ νίτρου ταύτην καὶ τοὺς κίονας κατασμήχοντες, αὐτός τε καὶ οἱ συμπαρόντες ἱερεῖς, (ἢ καὶ ἀρχιερεῖς ***Ζ***) μετὰ σπόγγων ἐκμάσσουσιν. Εἶτα λινῶν καθαρῶν ὑφασμάτων, οἷα καὶ κατὰ τὴν ἁγίαν καὶ μεγάλην ἐνεργεῖ Πέμπτην εἰς ἔκπλυσιν τῆς ἁγίας τραπέζης ἢ καὶ μετὰ τῶν ἀντιμινσίων, εἴπέρ εἰσιν, ἐπιχεομένου δηλαδὴ καὶ τούτοις ἑτέρου χλιαροῦ ὕδατος τοῦ ἀρκοῦντος, ἐν ᾧ καιρῷ τελεῖται ταῦτα λέγεται ψαλμὸς πγ΄· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου (ἕως τέλους ἐκ γ΄ ἕως οὗ ἀποσμήξωσιν αὐτὴν ***Χ***) (λέγει αὐτὸν ἅπαξ ἢ καὶ πολλάκις μέχρις ἂν τελείως αὐτὴν ἀποσμήξῃ e ***Ξ***). Μετὰ δὲ τὴν τελείαν ἔκπλυσιν καὶ ἀπόσμηξιν δοξάζουσι καὶ λέγει ὁ ἀρχιερεύς.

Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας.

Τῶν δὲ ἱερέων αὐτοῦ που πλησίον τὰ ἀντιμίνσια μετατιθέντων, λαμβάνει ὁ ἀρχιερεὺς βῆκον (βικίον ὲ βίκκον υ) οἰνάνθης ἢ οἴνου πλήρη (κανίον πλῆρες οἰνάνθου καὶ ἕτερον μεστὸν ροδοστάματος ***Ξ*** e) καὶ τρὶς ἐξ αὐτοῦ τῇ τραπέζῃ σταυροειδῶς ἐπιχέων φησί· Ραντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Τοῦτο δὲ τρὶς εἰπὼν ἐπισυνάπτει καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ μέχρι τέλους. Καὶ δοξάζων λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τούς...

1 *Ὅτι εὐλογητὸς ὑπάρχεις* ***Ν Ζ Η Χ*** *εὐλογημένος ὑπάρχεις* ***Ξ***

---

Ὁ e «Καὶ μετὰ τὸ Ἀμὴν εἰσέρχεται ὁ τὸν ἐγκαινισμὸν ποιῶν καὶ ἵσταται πρὸ τῆς ἁγίας Τραπέζης καὶ λαμβάνει νίτρα λευκὰ κομμάτια δ΄. καὶ τίθησιν αὐτὰ σταυροειδῶς εἰς τὴν ἁγίαν τράπεζαν καὶ φέρεται, σίτλα ἢ βαρστέλα ἢ πινάκι, μεστὴ ὕδατος χλιαροῦ, ἐν ᾗ κλίνει τὴν κεφαλὴν ὁ ἀρχιερεύς, ἐπεύχεται οὕτως...

Ὁ ὲ νίτρον λευκὸν ἤγουν σαποῦνι ἄσπρον.

Ὁ Β. «Καὶ μετὰ τὸ Ἀμὴν ἐπιδίδονται τῷ πατριάρχῃ νιπτρὰ λευκά, καὶ ταῦτα ρίπτει εἰς τὴν ἁγίαν τράπεζαν σταυροειδῶς καὶ φέρεται σίτλα τοῦ ἁγίου βαπτίσματος πεπληρωμένη ὕδατος χλιαροῦ, καὶ ἐπικλίνων αὐτῷ τὴν κεφαλὴν ὁ πατριάρχης ἐπεύχεται οὕτως·

Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἁγιάσας...

Καὶ μετὰ τοῦτο ἐπ χέει τρίτον τῇ τραπέζῃ λέγων εἰς τὸ ὄνομα... Ἁγίου Πνεύματος.

Εἶτα λαμβάνει ἀγγεῖον μύρου καθαροῦ πεπληρωμένον ἢ καὶ ἐλαιομιγοῦς διὰ σπάνιν. Καὶ τοῦ ἀρχιδιακόνου λέγοντος Πρόσχωμεν, ἐπιχέει τῇ τραπέζῃ (τρίτον σταυροειδῶς e), λεγομένου τοῦ Ἀλληλούϊα ὡς ἐπὶ τοῦ βαπτίσματος καὶ ποιεῖ δι᾽ αὐτοῦ σταυροὺς τρεῖς, μέσον ἕνα καὶ δύο ἑκατέρωθεν. Ἔπειτα διδοὺς τὸ ἀγγεῖον τῷ προσαγαγόντι πᾶσαν ἐπάνωθεν ἀλείφει τὴν τράπεζαν ἀπὸ τῶν τριῶν σταυρῶν. Καὶ καθ᾽ ἕνα ἕκαστον κιόνα ποιεῖ σταυροὺς τρεῖς, ἔν τε τῷ μέσῳ

---

*Σ* e Καὶ λαμβάνει τὸ ἀγγεῖον τοῦ μύρου πληρωμένου μύρου καθαροῦ καὶ λέγοντος τοῦ διακόνου... (περίπου ὡς καὶ ἐν τοῖς λοιποῖς κώδιξι)... ἀλείφει αὐτοχείρως πᾶσαν αὐτήν...»

**Ζ** «οἴνου πλήρη εἰς βῆκον ῥοδοστάγματος καὶ τρὶς ἐξ αὐτῶν... πεπληρωμένου ἢ καὶ ἔλαιον μετὰ τοῦ μύρου... ἀλείφει τὴν τράπεζαν μετὰ τῆς χειρὸς ἐκ τῶν γενομένων τριῶν σταυρῶν...»

Ὁ **Ζ** ὁλόκληρον τὸ κείμενον τῶν ψαλμῶν.

Ὁ **Σ**$_{3}$ «Εἰς τὸ ὄνομα... καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ μετὰ τῶν ἐπιτεθέντων νιπτρῶν ἀποσμήχει τὴν τράπεζαν καὶ τοὺς κίονας αὐτῆς ταῖς χερσίν, εἶτα μετὰ σπόγγου καινοῦ καθαροῦ ἐκ τοῦ ὑπολοίπου χλιαροῦ ἐκμάσσει αὐτήν. Ἐν δὲ τῷ ταῦτα γίνεσθαι λέγει τὸν πγ ψαλμὸν ἅπαξ ἢ καὶ πολλάκις, πάντων αὐτῷ συμψαλλόντων μέχρις οὗ τελείως αὐτὰ ἀποσμήξῃ καὶ ἀποπλύνῃ, καὶ τότε δοξάζει· Δόξα τῷ Θεῷ εἰς τοὺς αἰῶνας. Καὶ μετὰ τούτο λαμβάνει καινὴν κολάθην καὶ ἐπιχέει αὐτῷ γ'. σταυροειδῶς λέγων· Ραντιεῖς με... ἕως ὀστέα τεταπεινωμένα... Εὐλογητὸς ὁ Θεὸς εἰς τοὺς αἰῶνας. Και μετὰ τοῦτο λαμβάνει σάβανον καινούργιον καὶ ἐπιτίθησιν ἐπάνω της τραπέζης καὶ μετ᾽ αὐτοῦ ἀποσπογγίζει αὐτὴν λέγων τὸν ρλα ψαλμὸν ἅπαξ ἢ καὶ δὶς μέχρις οὗ τελείως ἀποσπογγίσῃ. Καὶ οὕτως δοξάζει καὶ ἐπιλέγει καὶ πάλιν Δόξα Χριστῷ τῷ Θεῷ εἰς τοὺς αἰῶνας. Καὶ λαμβάνει τὸ ἀγγεῖον τοῦ μύρου... ἀλείφει αὐτὴν τῇ χειρὶ πᾶσαν, ποιεῖ σταυροὺς εἰς τοὺς κίονας τῆς αὐτῆς τραπέζης λέγων τὸν ρλβ ψαλμὸν ὅλον καὶ δοξάζει ἐπιλέγων Δόξα σοι, ἁγία Τριάς... Καὶ μετὰ τοῦτο νιπτόμενος τὰς χεῖρας λαμβάνει τὸ ἅπλωμα...

Β. Καὶ μετὰ τοῦτο ἀποθέντων νιπτρῶν... (ὡς ὁ **Σ**$_{3}$) λαμβάνει κάννην κολλάθου... Ραντιεῖς με καὶ τὰ ἑξῆς. Καὶ τότε τρὶς λέγει. Καὶ εἶθ᾽ οὕτω συνάπτει καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ μέχρι τοῦ τέλους. Καὶ οὕτω δοξάζει καὶ ἐπεύχεται· Εὐλογητὸς...

Καὶ λαμβάνει τὸ ἀγγεῖον τοῦ μύρου καὶ λέγοντος τοῦ διακόνου Πρόσχωμεν, ἐπιχέει ἐξ αὐτοῦ ἐν τῇ τραπέζῃ τρὶς σταυροειδῶς, ποιῶν τρεῖς σταυρούς, ἕνα μέσον καὶ δύο ἑκατέρωθεν λέγων τρὶς Ἀλληλούϊα, ὡς καὶ ἐπὶ τοῦ βαπτίσματος καὶ ἀποδιδοὺς τὸ ἀγγεῖον, ἐκ τῶν γενομένων τριῶν σταυρῶν ἐν τῇ ἁγίᾳ τραπέζῃ ἀλείφει ὅλην αὐτὴν τῇ χειρὶ ἐπάνω πᾶσαν. Ποιεῖ δὲ σταυροὺς καὶ εἰς τοὺς κίονας ταύτης λέγων τὸν ρλβ ψαλμὸν ὅλον, καὶ δοξάζει ἐπιλέγων· Δόξα σοι ἁγία Τριὰς ὁ Θεὸς ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ μετὰ τοῦτο νιπτόμενος τὰς χεῖρας λαμβάνει τὸ ἅπλωμα καὶ περιβάλλει τῇ ἁγίᾳ τραπέζῃ λέγων τὸν ϟβ ψαλμόν. Ὁ Κύριος ἐβασίλευσεν... ἢ πολλάκις, ἕως οὗ τελείως αὐτὴν ἐνδύσῃ· καὶ οὕτως δοξάζει.

(Συνεχίζεται)